11 ΙΟΥΛΙΟΥ

Εὐφημίας μεγαλομάρτυρος (†451). Ὄλγας ἰσαποστόλου (†969), Νεκταρίου ὁσιομάρτυρος τοῦ ἐκ Βρυούλων (†820).

* * *

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

ΕΝΑΡΞΙΣ – ΒΑΣΙΛΙΚΗ ΑΚΟΛΟΥΘΙΑ

Ὁ ἱερεύς· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ ἀναγνώστης· Ἀμήν.

Καὶ λέγει τὸ τρισάγιον.

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος· ἐλέησον ἡμᾶς. Ἐκ γ΄.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριάς, * ἐλέησον ἡμᾶς· * Κύριε, * ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν· * Δέσποτα, * συγχώρησον τὰς ἀνομίας ἡμῖν· * Ἅγιε, * ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν * ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον· Κύριε, ἐλέησον· Κύριε, ἐλέησον.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, * ἁγιασθήτω τὸ ὄνομά σου· * ἐλθέτω ἡ βασιλεία σου· * γενηθήτω τὸ θέλημά σου, * ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς· * τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον * δὸς ἡμῖν σήμερον· * καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, * ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· * καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, * ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ὁ ἱερεύς· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ ἀναγνώστης· Ἀμήν.

Καὶ τὰ τροπάρια ταῦτα.

Σῶσον, Κύριε, τὸν λαόν σου * καὶ εὐλόγησον τὴν κληρονομίαν σου, * νίκας τοῖς βασιλεῦσι * κατὰ βαρβάρων δωρούμενος * καὶ τὸ σὸν φυλάττων * διὰ τοῦ Σταυροῦ σου πολίτευμα.

Δόξα.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἑκουσίως, * τῇ ἐπωνύμῳ σου καινῇ πολιτείᾳ * τοὺς οἰκτιρμούς σου δώρησαι, * Χριστὲ ὁ Θεός· * εὔφρανον ἐν τῇ δυνάμει σου * τοὺς πιστοὺς βασιλεῖς ἡμῶν, * νίκας χορηγῶν αὐτοῖς * κατὰ τῶν πολεμίων· * τὴν συμμαχίαν ἔχοιεν τὴν σήν, * ὅπλον εἰρήνης, ἀήττητον τρόπαιον.

Καὶ νῦν. Θεοτοκίον.

Προστασία φοβερὰ καὶ ἀκαταίσχυντε, * μὴ παρίδῃς, ἀγαθή, τὰς

ἱκεσίας ἡμῶν, * πανύμνητε Θεοτόκε· * στήριξον ὀρθοδόξων πολιτείαν· * σῷζε οὓς ἐκέλευσας βασιλεύειν * καὶ χορήγει αὐτοῖς οὐρανόθεν τὴν νίκην· * διότι ἔτεκες τὸν Θεόν, * μόνη εὐλογημένη.

Ὁ ἱερεύς· Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ὁ ἀναγνώστης· Κύριε, ἐλέησον γ΄.

Ὁ ἱερεύς· Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν.

Ὁ ἀναγνώστης· Κύριε, ἐλέησον γ΄.

Ὁ ἱερεύς· Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν (δεῖνος).

Ὁ ἀναγνώστης· Κύριε, ἐλέησον γ΄.

Ὁ ἱερεύς· Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ ἀναγνώστης· Ἀμήν. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, πάτερ.

Καὶ εὐθὺς ἐκφωνεῖ ὁ ἱερεύς·

Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ καὶ ζωοποιῷ καὶ ἀδιαιρέτῳ Τριάδι πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ ἀναγνώστης· Ἀμήν.

Ο ΕΞΑΨΑΛΜΟΣ - ΑΙ ΕΥΧΑΙ

Καὶ ἀναγινώσκει ὁ προεστὼς (ἢ ὁ ἀναγνώστης) τὸν Ἑξάψαλμον.

Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. (τρίς)

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. (δίς)

Ψαλμὸς γ΄ (3).

Κύριε, τί ἐπληθύνθησαν οἱ θλίβοντές με; Πολλοὶ ἐπανίστανται ἐπ᾽ ἐμέ.

Πολλοὶ λέγουσι τῇ ψυχῇ μου· Οὐκ ἔστι σωτηρία αὐτῷ ἐν τῷ Θεῷ αὐτοῦ.

Σὺ δέ, Κύριε, ἀντιλήπτωρ μου εἶ· δόξα μου καὶ ὑψῶν τὴν κεφαλήν μου.

Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, καὶ ἐπήκουσέ μου ἐξ ὄρους ἁγίου αὐτοῦ.

Ἐγὼ δὲ ἐκοιμήθην καὶ ὕπνωσα· ἐξηγέρθην, ὅτι Κύριος ἀντιλήψεταί μου.

Οὐ φοβηθήσομαι ἀπὸ μυριάδων λαοῦ, τῶν κύκλῳ συνεπιτιθεμένων μοι.

Ἀνάστα, Κύριε, σῶσόν με, ὁ Θεός μου.

Ὅτι σὺ ἐπάταξας πάντας τοὺς ἐχθραίνοντάς μοι ματαίως, ὀδόντας ἁμαρτωλῶν συνέτριψας.

Τοῦ Κυρίου ἡ σωτηρία, καὶ ἐπὶ τὸν λαόν σου ἡ εὐλογία σου.

Καί πάλιν.

Ἐγὼ ἐκοιμήθην καὶ ὕπνωσα· ἐξηγέρθην, ὅτι Κύριος ἀντιλήψεταί μου.

Ψαλμὸς λζ΄ (37).

Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.

Ὅτι τὰ βέλη σου ἐνεπάγησάν μοι, καὶ ἐπεστήριξας ἐπ᾽ ἐμὲ τὴν χεῖρά σου.

Οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου ἀπὸ προσώπου τῆς ὀργῆς σου· οὐκ ἔστιν εἰρήνη ἐν τοῖς ὀστέοις μου ἀπὸ προσώπου τῶν ἁμαρτιῶν μου.

Ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου, ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ᾽ ἐμέ.

Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης μου.

Ἐταλαιπώρησα καὶ κατεκάμφθην ἕως τέλους, ὅλην τὴν ἡμέραν σκυθρωπάζων ἐπορευόμην.

Ὅτι αἱ ψόαι μου ἐπλήσθησαν ἐμπαιγμάτων καὶ οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου.

Ἐκακώθην καὶ ἐταπεινώθην ἕως σφόδρα· ὠρυόμην ἀπὸ στεναγμοῦ τῆς καρδίας μου.

Κύριε, ἐναντίον σου πᾶσα ἡ ἐπιθυμία μου, καὶ ὁ στεναγμός μου ἀπὸ σοῦ οὐκ ἀπεκρύβη.

Ἡ καρδία μου ἐταράχθη, ἐγκατέλιπέ με ἡ ἰσχύς μου, καὶ τὸ φῶς τῶν ὀφθαλμῶν μου, καὶ αὐτὸ οὐκ ἔστι μετ᾽ ἐμοῦ.

Οἱ φίλοι μου καὶ οἱ πλησίον μου ἐξ ἐναντίας μου ἤγγισαν καὶ ἔστησαν, καὶ οἱ ἔγγιστά μου ἀπὸ μακρόθεν ἔστησαν.

Καὶ ἐξεβιάζοντο οἱ ζητοῦντες τὴν ψυχήν μου, καὶ οἱ ζητοῦντες τὰ κακά μοι ἐλάλησαν ματαιότητας, καὶ δολιότητας ὅλην τὴν ἡμέραν ἐμελέτησαν.

Ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον, καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ.

Καὶ ἐγενόμην ὡσεὶ ἄνθρωπος οὐκ ἀκούων, καὶ οὐκ ἔχων ἐν τῷ στόματι αὐτοῦ ἐλεγμούς.

Ὅτι ἐπὶ σοί, Κύριε, ἤλπισα, σὺ εἰσακούσῃ, Κύριε, ὁ Θεός μου.

Ὅτι εἶπον· Μήποτε ἐπιχαρῶσί μοι οἱ ἐχθροί μου, καὶ ἐν τῷ σαλευθῆναι πόδας μου ἐπ᾽ ἐμὲ ἐμεγαλορρήμονησαν.

Ὅτι ἐγὼ εἰς μάστιγας ἕτοιμος, καὶ ἡ ἀλγηδών μου ἐνώπιόν μού ἐστι διαπαντός.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ ἀναγγελῶ καὶ μεριμνήσω ὑπὲρ τῆς ἁμαρτίας μου.

Οἱ δὲ ἐχθροί μου ζῶσι καὶ κεκραταίωνται ὑπὲρ ἐμέ, καὶ

ἐπληθύνθησαν οἱ μισοῦντές με ἀδίκως.
Οἱ ἀνταποδιδόντες μοι κακὰ ἀντὶ ἀγαθῶν ἐνδιέβαλλόν με, ἐπεὶ κατεδίωκον ἀγαθωσύνην.
Μὴ ἐγκαταλίπῃς με, Κύριε, ὁ Θεός μου, μὴ ἀποστῇς ἀπ᾽ ἐμοῦ.
Πρόσχες εἰς τὴν βοήθειάν μου, Κύριε, τῆς σωτηρίας μου.

Καὶ πάλιν.

Μὴ ἐγκαταλίπῃς με, Κύριε, ὁ Θεός μου, μὴ ἀποστῇς ἀπ᾽ ἐμοῦ.
Πρόσχες εἰς τὴν βοήθειάν μου, Κύριε τῆς σωτηρίας μου.

Ψαλμὸς ξβ΄ (62).

Ὁ Θεός, ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω.
Ἐδίψησέ σε ἡ ψυχή μου, ποσαπλῶς σοι ἡ σάρξ μου ἐν γῇ ἐρήμῳ καὶ ἀβάτῳ καὶ ἀνύδρῳ.
Οὕτως ἐν τῷ ἁγίῳ ὤφθην σοι, τοῦ ἰδεῖν τὴν δύναμίν σου καὶ τὴν δόξαν σου.
Ὅτι κρεῖσσον τὸ ἔλεός σου ὑπὲρ ζωάς· τὰ χείλη μου ἐπαινέσουσί σε.
Οὕτως εὐλογήσω σε ἐν τῇ ζωῇ μου, καὶ ἐν τῷ ὀνόματί σου ἀρῶ τὰς χεῖράς μου.
Ὡς ἐκ στέατος καὶ πιότητος ἐμπλησθείη ἡ ψυχή μου, καὶ χείλη ἀγαλλιάσεως αἰνέσει τὸ στόμα μου.
Εἰ ἐμνημόνευόν σου ἐπὶ τῆς στρωμνῆς μου, ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ.
Ὅτι ἐγενήθης βοηθός μου, καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσομαι.
Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου, ἐμοῦ δέ ἀντελάβετο ἡ δεξιά σου.
Αὐτοὶ δὲ εἰς μάτην ἐζήτησαν τὴν ψυχήν μου· εἰσελεύσονται εἰς τὰ κατώτατα τῆς γῆς· παραδοθήσονται εἰς χεῖρας ῥομφαίας, μερίδες ἀλωπέκων ἔσονται.
Ὁ δὲ βασιλεὺς εὐφρανθήσεται ἐπὶ τῷ Θεῷ, ἐπαινεθήσεται πᾶς ὁ ὀμνύων ἐν αὐτῷ, ὅτι ἐνεφράγη στόμα λαλούντων ἄδικα.

Καὶ πάλιν.

Ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ, ὅτι ἐγενήθης βοηθός μου, καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσομαι.
Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου· ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου.

Καὶ τὰ ἑξῆς ἄνευ μετανοιῶν·

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.
Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα· δόξα σοι ὁ Θεός (τρίς).
Κύριε, ἐλέησον· Κύριε, ἐλέησον· Κύριε, ἐλέησον.
Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ψαλμὸς πζ΄ (87).

Κύριε, ὁ Θεὸς τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα καὶ ἐν νυκτὶ ἐναντίον σου.
Εἰσελθέτω ἐνώπιόν σου ἡ προσευχή μου, κλῖνον τὸ οὖς σου εἰς τὴν δέησίν μου.
Ὅτι ἐπλήσθη κακῶν ἡ ψυχή μου, καὶ ἡ ζωή μου τῷ Ἅιδῃ ἤγγισε.
Προσελογίσθην μετὰ τῶν καταβαινόντων εἰς λάκκον, ἐγενήθην ὡσεὶ ἄνθρωπος ἀβοήθητος, ἐν νεκροῖς ἐλεύθερος.
Ὡσεὶ τραυματίαι καθεύδοντες ἐν τάφῳ, ὧν οὐκ ἐμνήσθης ἔτι, καὶ αὐτοὶ ἐκ τῆς χειρός σου ἀπώσθησαν.
Ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ, ἐν σκοτεινοῖς καὶ ἐν σκιᾷ θανάτου.
Ἐπ᾽ ἐμὲ ἐπεστηρίχθη ὁ θυμός σου, καὶ πάντας τοὺς μετεωρισμούς σου ἐπήγαγες ἐπ᾽ ἐμέ.
Ἐμάκρυνας τοὺς γνωστούς μου ἀπ᾽ ἐμοῦ, ἔθεντό με βδέλυγμα ἑαυτοῖς.
Παρεδόθην καὶ οὐκ ἐξεπορευόμην· οἱ ὀφθαλμοί μου ἠσθένησαν ἀπὸ πτωχείας.
Ἐκέκραξα πρὸς σέ, Κύριε, ὅλην τὴν ἡμέραν, διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου.
Μὴ τοῖς νεκροῖς ποιήσεις θαυμάσια; ἢ ἰατροὶ ἀναστήσουσι, καὶ ἐξομολογήσονταί σοι;
Μὴ διηγήσεταί τις ἐν τῷ τάφῳ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου ἐν τῇ ἀπωλείᾳ;
Μὴ γνωσθήσεται ἐν τῷ σκότει τὰ θαυμάσιά σου καὶ ἡ δικαιοσύνη σου ἐν γῇ ἐπιλελησμένῃ;
Κἀγὼ πρὸς σέ, Κύριε, ἐκέκραξα, καὶ τὸ πρωΐ ἡ προσευχή μου προφθάσει σε.
Ἵνα τί, Κύριε, ἀπωθῇ τὴν ψυχήν μου; ἀποστρέφεις τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ;
Πτωχός εἰμι ἐγώ, καὶ ἐν κόποις ἐκ νεότητός μου· ὑψωθεὶς δὲ ἐταπεινώθην καὶ ἐξηπορήθην.
Ἐπ᾽ ἐμὲ διῆλθον αἱ ὀργαί σου, οἱ φοβερισμοί σου ἐξετάραξάν με.
Ἐκύκλωσάν με ὡσεὶ ὕδωρ, ὅλην τὴν ἡμέραν περιέσχον με ἅμα.
Ἐμάκρυνας ἀπ᾽ ἐμοῦ φίλον καὶ πλησίον, καὶ τοὺς γνωστούς μου ἀπὸ ταλαιπωρίας.

Καὶ πάλιν.

Κύριε, ὁ Θεὸς τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα καὶ ἐν νυκτὶ ἐναντίον σου.
Εἰσελθέτω ἐνώπιόν σου ἡ προσευχή μου, κλῖνον τὸ οὖς σου εἰς τὴν δέησίν μου.

Ψαλμὸς ρβ΄ (102).

Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.
Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ.
Τὸν εὐϊλατεύοντα πάσας τὰς ἀνομίας σου, τὸν ἰώμενον πάσας τὰς νόσους σου.
Τὸν λυτρούμενον ἐκ φθορᾶς τὴν ζωήν σου, τὸν στεφανοῦντά σε ἐν ἐλέει καὶ οἰκτιρμοῖς.
Τὸν ἐμπιπλῶντα ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν σου, ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου.
Ποιῶν ἐλεημοσύνας ὁ Κύριος, καὶ κρῖμα πᾶσι τοῖς ἀδικουμένοις.
Ἐγνώρισε τὰς ὁδοὺς αὐτοῦ τῷ Μωϋσῇ, τοῖς υἱοῖς Ἰσραὴλ τὰ θελήματα αὐτοῦ.
Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος· οὐκ εἰς τέλος ὀργισθήσεται, οὐδὲ εἰς τὸν αἰῶνα μηνιεῖ.
Οὐ κατὰ τὰς ἀνομίας ἡμῶν ἐποίησεν ἡμῖν, οὐδὲ κατὰ τὰς ἁμαρτίας ἡμῶν ἀνταπέδωκεν ἡμῖν.
Ὅτι κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς, ἐκραταίωσε Κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν.
Καθόσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν, ἐμάκρυνεν ἀφ᾽ ἡμῶν τὰς ἀνομίας ἡμῶν.
Καθὼς οἰκτείρει πατὴρ υἱούς, ᾠκτείρησε Κύριος τοὺς φοβουμένους αὐτόν· ὅτι αὐτὸς ἔγνω τὸ πλάσμα ἡμῶν, ἐμνήσθη ὅτι χοῦς ἐσμεν.
Ἄνθρωπος ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ, ὡσεὶ ἄνθος τοῦ ἀγροῦ οὕτως ἐξανθήσει.
Ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ καὶ οὐχ ὑπάρξει, καὶ οὐκ ἐπιγνώσεται ἔτι τὸν τόπον αὐτοῦ.
Τὸ δὲ ἔλεος τοῦ Κυρίου ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος, ἐπὶ τοὺς φοβουμένους αὐτόν.
Καὶ ἡ δικαιοσύνη αὐτοῦ ἐπὶ υἱοῖς υἱῶν, τοῖς φυλάσσουσι τὴν διαθήκην αὐτοῦ, καὶ μεμνημένοις τῶν ἐντολῶν αὐτοῦ τοῦ ποιῆσαι αὐτάς.
Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει.
Εὐλογεῖτε τὸν Κύριον πάντες οἱ Ἄγγελοι αὐτοῦ, δυνατοὶ ἰσχύϊ, ποιοῦντες τὸν λόγον αὐτοῦ, τοῦ ἀκοῦσαι τῆς φωνῆς τῶν λόγων αὐτοῦ.
Εὐλογεῖτε τὸν Κύριον, πᾶσαι αἱ Δυνάμεις αὐτοῦ, λειτουργοὶ αὐτοῦ οἱ ποιοῦντες τὸ θέλημα αὐτοῦ.
Εὐλογεῖτε τὸν Κύριον, πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς

δεσποτείας αὐτοῦ· εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

Καὶ πάλιν.

Ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ· εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

Ψαλμὸς ρμβ΄ (142).

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου·
Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.
Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου· ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.
Ἐκάθισέ με ἐν σκοτεινοῖς, ὡς νεκροὺς αἰῶνος, καὶ ἠκηδίασεν ἐπ᾽ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.
Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.
Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου· ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.
Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.
Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.
Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.
Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.
Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.
Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.
Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου· καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου.
Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγώ δοῦλός σού εἰμι.

Καὶ πάλιν.

Εἰσάκουσόν μου, Κύριε, ἐν τῇ δικαιοσύνῃ σου, καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου. (δίς)

Εἶτα·

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.
Καὶ τὰ ἑξῆς μετὰ μετανοιῶν γ΄,
ἤτοι κεφαλοκλισιῶν καὶ σταυρῶν.
Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.
Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.
Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα· δόξα σοι, ὁ Θεός. (ἐκ γ΄)
Ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα σοι.

Εἶτα, Συναπτὴ μεγάλη ὑπὸ τοῦ Διακόνου.

ΤΑ ΕΙΡΗΝΙΚΑ

Ὁ διάκονος· Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν κτλ.

Οἱ δὲ χοροὶ εἰς ἑκάστην δέησιν τὸ Κύριε ἐλέησον, μέχρι καὶ τῆς Ἀντιλαβοῦ, σῶσον...

Ὁ διάκονος· Τῆς Παναγίας, ἀχράντου...

Ὁ χορός· Σοί, Κύριε.

Ὁ ἱερεύς· Ὅτι πρέπει σοι πᾶσα δόξα...

Ὁ χορός· Ἀμήν.

* * *

Ἦχος Γα ϕ



Στίχ. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Στίχ. β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Στίχ. γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη, καί ἐστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.



Ἀπολυτίκιον. Τῆς Ἁγίας.

Θείας πίστεως. Ἦχος Γα ϕ





Δὸξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.



Συναπτὴ μικρά, μεθ' ἣν ἐκφώνησις·

Ὅτι σὸν τὸ κράτος...

* * *

ΚΑΘΙΣΜΑΤΑ

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.

Ἦχος α΄. Τὸν τάφον σου Σωτὴρ.

Ἡ νύμφη καὶ ἀμνάς, τετρωμένη τῷ πόθῳ, Χριστὲ τοῦ ἑαυτῆς, οὐρανίου νυμφίου, ὀπίσω σου ἔδραμε, τὴν λαμπάδα κατέχουσα, τὴν δι' ἔλαιον, τῶν ἀρετῶν ἀνημμένην. Ταύτης ἅπαντας, ῥῦσαι παντοίων κινδύνων, πρεσβείαις ὡς εὔσπλαγχνος.

Δὸξα. Καὶ νῦν. Θεοτοκίον.

Ἐλπὶς Χριστιανῶν, Παναγία Παρθένε, ὃν ἔτεκες Θεόν, ὑπὲρ νοῦν

τε καὶ λόγον, ἀπαύστως ἱκέτευε, σὺν ταῖς ἄνω Δυνάμεσι, δοῦναι ἄφεσιν, ἁμαρτιῶν ἡμῖν πᾶσι, καὶ διόρθωσιν, βίου τοῖς πίστει καὶ πόθῳ ἀεὶ σε δοξάζουσι.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα.

Ἦχος δ΄. Κατεπλάγη Ἰωσὴφ.

Κατῃσχύνθησαν αἰσχρῶς, αἱρετιζόντων ἡ πληθύς, καὶ τὰ πρόσωπα αὐτῶν, ὕβρεως πέπλησται πολλῆς, ὅτε ἑώρων ποσί σου κατερριμμένον, τὸν Τόμον ἑαυτῶν, τὸν δὲ ἡμέτερον, τιμίαις σου χερσί, κατεχόμενον, κατηγοροῦντα ἄνοιαν ἐνδίκως, τῶν κακοδόξων, καὶ κράζοντα, Χριστὸς ἐτέχθη, διπλοῦς τῇ φύσει, διπλοῦς δὲ καὶ ταῖς θελήσεσι.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Κατεπλάγη, Ἰωσήφ, τὸ ὑπὲρ φύσιν θεωρῶν, καὶ ἐλάμβανεν εἰς νοῦν, τὸν ἐπὶ πόκον ὑετόν, ἐν τῇ ἀσπόρῳ συλλήψει σου Θεοτόκε, βᾶτον ἐν πυρί, ἀκατάφλεκτον, ῥάβδον Ἀαρὼν τὴν βλαστήσασαν, καὶ μαρτυρῶν ὁ μνήστωρ σου καὶ φύλαξ, τοῖς ἱερεύσιν ἐκραύγαζε· Παρθένος τίκτει, καὶ μετὰ τόκον, πάλιν μένει Παρθένος.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα

Ἦχος πλ. δ΄. Τὸ προσταχθὲν μυστικῶς.

Ἐν τῇ εὐσήμῳ ἑορτῇ τῆς Πανευφήμου, μετ᾽ ἐγκωμίων ψαλμικῶς πιστῶν ὁ δῆμος, εὐφημήσωμεν πόθῳ Χριστοῦ τὴν παρθένον· δογμάτων γὰρ ἀνεδείχθη τῶν πατρικῶν, προστάτις, καὶ μετὰ τέλος θαῦμα φρικτόν! Εὐτυχῆ καὶ Διόσκορον, ἐλέγξασα τοὺς κακῶς, νοσήσαντας εἰς δόγμα Χριστοῦ, ὃν ὑμνοῦντες δοξάζομεν.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Εὐχαριστοῦμέν σοι ἀεὶ Θεοτόκε, καὶ μεγαλύνομεν Ἁγνὴ καὶ προσκυνοῦμεν ἀνυμνοῦντες τὸν τόκον σου κεχαριτωμένη, βοῶντες ἀκαταπαύστως, σῶσον ἡμᾶς, Παρθένε Παντελεῆμον, ὡς ἀγαθή, καὶ δαιμόνων ἐξάρπασον, λογοθεσίου φοβεροῦ, ἐν ὥρᾳ τῆς ἐτάσεως, μὴ αἰσχυνθῶμεν οἱ δοῦλοί σου.

Ἦχος Βου ξ





ω ω σον Σω ω τη η ηϱ μȣ ȣ

Ο Δι ι μι σȣ ȣν τες Σι ω ω ων αι αι σχυ υν θη

Βȣ η η τε ε ε ε ε α πο ο τȣ Κυ υ ϱι

Πα ι ι ȣ ȣ ως χο ο ο ο ο οϱ το ο ο

Μ Βȣ ο ος γαϱ πυ υ ϱι ι ι ι ι ε ε σε ε ε

σθε ε ε ε ε α πε ξη ϱα με ε ε νοι οι

Δ Βȣ ο ξα Πα τϱι και Υι ω ω και αι Α α γι ι

ω Πνε ευ μα α τι ι

Α Βȣ γι ω Πνευ μα τι ι ι πα α α σα ψυ υ

Δι χη ζω ω ου ου ου ται αι και κα α θα αϱ σει

υ ψου ου ου ται αι λα α αμ πϱυ υ νε ε ε ται

Βȣ τη η Τϱι ι α δι κη η μο ο να α α δι ι ι

ι ι Ι ε ε ϱο κϱυ υ φι ι ι ω ως

Κ Βȣ αι νυν και α ει και εις τȣς αι ω νας των

αι ω ω νων α α μη ην

Α Βȣ γι ω Πνευ μα α τι ι α να α βλυ υ υ



Προκείμενον



Στίχ. α΄.



Στίχ. β΄. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου









ΤΑΞΙΣ ΕΥΑΓΓΕΛΙΟΥ

Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.
Κύριε, ἐλέησον.
Ὁ ἱερεύς· Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, ...
Ἀμήν.

Σταθερὸν Προκείμενον ὄρθρου.
Ψαλμὸς ρν΄ (150).

Ἦχος Δι



Στίχ. α΄. Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.



Στίχ. β΄. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ.



Εὐαγγέλιον.

Ὁ διάκονος· Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν.
Κύριε, ἐλέησον. (γ΄)
Ὁ διάκονος· Σοφία· ὀρθοί· ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

Ὁ ἱερεύς· Εἰρήνη πᾶσι.
Καὶ τῷ πνεύματί σου.
Ὁ ἱερεύς· Ἐκ τοῦ κατὰ Μάρκον ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.
Ὁ διάκονος· Πρόσχωμεν.
Δόξα σοι, Κύριε, δόξα σοι.

Ὁ ἱερεὺς ἀναγινώσκει τὸ ἐνδιάτακτον ἑωθινὸν Εὐαγγέλιον.

Ἐκ τοῦ κατὰ Μάρκον, ε΄ 24 - 34

Τῷ καιρῷ ἐκείνῳ, ἠκολούθει τῷ Ἰησοῦ ὄχλος πολύς, καὶ συνέθλιβον αὐτόν. Καὶ γυνή τις οὖσα ἐν ῥύσει αἵματος ἔτη δώδεκα, καὶ πολλὰ παθοῦσα ὑπὸ πολλῶν ἰατρῶν καὶ δαπανήσασα τὰ παρ᾽ ἑαυτῆς πάντα, καὶ μηδὲν ὠφεληθεῖσα, ἀλλὰ μᾶλλον εἰς τὸ χεῖρον ἐλθοῦσα, ἀκούσασα περὶ τοῦ Ἰησοῦ, ἐλθοῦσα ἐν τῷ ὄχλῳ ὄπισθεν ἥψατο τοῦ ἱματίου αὐτοῦ· ἔλεγεν γὰρ ἐν ἑαυτῇ ὅτι Ἐὰν ἅψωμαι κἂν τῶν ἱματίων αὐτοῦ, σωθήσομαι. καὶ εὐθέως ἐξηράνθη ἡ πηγὴ τοῦ αἵματος αὐτῆς, καὶ ἔγνω τῷ σώματι ὅτι ἴαται ἀπὸ τῆς μάστιγος. καὶ εὐθέως ὁ Ἰησοῦς ἐπιγνοὺς ἐν ἑαυτῷ τὴν ἐξ αὐτοῦ δύναμιν ἐξελθοῦσαν, ἐπιστραφεὶς ἐν τῷ ὄχλῳ ἔλεγε· Τίς μου ἥψατο τῶν ἱματίων; καὶ ἔλεγον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· Βλέπεις τὸν ὄχλον συνθλίβοντά σε, καὶ λέγεις· τίς μου ἥψατο; καὶ περιεβλέπετο ἰδεῖν τὴν τοῦτο ποιήσασαν. ἡ δὲ γυνὴ φοβηθεῖσα καὶ τρέμουσα, εἰδυῖα ὃ γέγονεν ἐπ᾽ αὐτῇ, ἦλθε καὶ προσέπεσεν αὐτῷ καὶ εἶπεν αὐτῷ πᾶσαν τὴν ἀλήθειαν. ὁ δὲ εἶπεν αὐτῇ· Θύγατερ, ἡ πίστις σου σέσωκέ σε· ὕπαγε εἰς εἰρήνην, καὶ ἴσθι ὑγιὴς ἀπὸ τῆς μάστιγός σου.

Δόξα σοι, Κύριε, δόξα σοι.

Ὁ προεστὼς ἢ ὁ ἀναγνώστης τὸν ν΄ ψαλμόν, χύμα.

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.
Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.
Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.
Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.
Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.
Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.
Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.
Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα

τεταπεινωμένα.
Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.
Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.
Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.
Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.
Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.
Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.
Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.
Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.
Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.
Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἰερουσαλήμ.
Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.
Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Ἦχος πλ. Δι



Ἦχος Πα

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου





Σῶσον, ὁ Θεός, τὸν λαόν Σου... Κύριε, ἐλέησον (ιβ΄). Ἐλέει καὶ οἰκτιρμοῖς... Ἀμήν.

* * *

ΟΙ ΚΑΝΟΝΕΣ

Ὁ τῆς Θεοτόκου καὶ ὁ τῆς Ἁγίας.

Τῆς Θεοτόκου.

ὨΙδὴ α΄. Ἦχος πλ. δ΄. Ὁ εἱρμός.

Ὑγρὰν διοδεύσας ὡσεὶ ξηράν, καὶ τὴν αἰγυπτίαν, μοχθηρίαν διαφυγών, ὁ Ἰσραηλίτης ἀνεβόα· Τῷ Λυτρωτῇ καὶ Θεῷ ἡμῶν ᾄσωμεν.

Τροπάρια.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Πολλοῖς συνεχόμενος πειρασμοῖς, πρὸς σὲ καταφεύγω, σωτηρίαν ἐπιζητῶν· ὦ Μῆτερ τοῦ Λόγου καὶ Παρθένε, τῶν δυσχερῶν καὶ δεινῶν με διάσωσον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Παθῶν με ταράττουσι προσβολαί, πολλῆς ἀθυμίας ἐμπιπλῶσαί μου τὴν ψυχήν· εἰρήνευσον Κόρη τῇ γαλήνῃ, τῇ τοῦ Υἱοῦ καὶ Θεοῦ σου Πανάμωμε.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Σωτῆρα τεκοῦσά σε καὶ Θεόν, δυσωπῶ Παρθένε, λυτρωθῆναί με τῶν δεινῶν· σοὶ γὰρ νῦν προσφεύγων ἀνατείνω, καὶ τὴν ψυχὴν καὶ τὴν διάνοιαν.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Νοσοῦντα τὸ σῶμα καὶ τὴν ψυχήν, ἐπισκοπῆς θείας, καὶ προνοίας τῆς παρὰ σοῦ, ἀξίωσον μόνη Θεομῆτορ, ὡς ἀγαθὴ ἀγαθοῦ τε λοχεύτρια.

Τῆς Ἁγίας.

Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.

Στίχ. Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀνοίξω τὸ στόμα μου, καὶ πληρωθήσεται πνεύματος, καὶ ᾄσω μελῳδημα, τῇ Ἀθληφόρῳ Χριστοῦ, καὶ ὀφθήσομαι, φαιδρῶς ἀνακηρύττων, τοὺς πόνους οὓς ἤνεγκε, καὶ τὰ παλαίσματα.

Στίχ. Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἰάσεων ἄφθονα, ἡμῖν προχέεις χαρίσματα, τοῖς πίστει προστρέχουσιν, ἐν τῷ ναῷ σου Σεμνή, καὶ αἰτοῦσί σε, ἐκ βάθους καρδίας, καὶ πόθῳ τὴν μνήμην σου, πανηγυρίζουσι.

Δόξα.

Ναὸς ἐχρημάτισας, κατὰ τὸν θεῖον Ἀπόστολον, ἐν ᾧπερ ηὐδόκησε, Χριστὸς ὁ Κύριος, ἐνοικῆσαί τε, καὶ ἐμπεριπατῆσαι, ψυχῆς καθαρότητι, Μάρτυς πολύαθλε.

Καὶ νῦν. Θεοτοκίον.

Οὐ κρύπτομεν Δέσποινα, τοῦ σοῦ ἐλέους τὴν ἄβυσσον, καὶ βρύσιν τὴν ἄφθονον, τῶν τεραστίων σου, καὶ τὸ πέλαγος, τῶν εὐεργεσιῶν σου, ὧν πᾶσι δι᾽ ἔλεον πολύν ἐξέχεας.

Τῆς Θεοτόκου.

ὨΙδὴ γ΄. Ὁ εἱρμός.

Οὐρανίας ἀψῖδος, ὀροφουργὲ Κύριε, καὶ τῆς Ἐκκλησίας δομῆτορ, σύ με στερέωσον, ἐν τῇ ἀγάπῃ τῇ σῇ, τῶν ἐφετῶν ἡ ἀκρότης, τῶν πιστῶν τὸ στήριγμα, μόνε Φιλάνθρωπε.

Τροπάρια.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Προστασίαν καὶ σκέπην, ζωῆς ἐμῆς τίθημι, σὲ Θεογεννῆτορ Παρθένε· σύ με κυβέρνησον, πρὸς τὸν λιμένα σου, τῶν ἀγαθῶν ἡ αἰτία, τῶν πιστῶν τὸ στήριγμα, μόνη Πανύμνητε.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἱκετεύω Παρθένε, τὸν ψυχικὸν τάραχον, καὶ τῆς ἀθυμίας τὴν ζάλην, διασκεδάσαι μου· σὺ γὰρ Θεόνυμφε, τὸν ἀρχηγὸν τῆς γαλήνης, τὸν Χριστὸν ἐκύησας, μόνη Πανάχραντε.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Εὐεργέτην τεκοῦσα, τὸν τῶν καλῶν αἴτιον, τῆς εὐεργεσίας τὸν πλοῦτον, πᾶσιν ἀνάβλυσον· πάντα γὰρ δύνασαι, ὡς δυνατὸν ἐν ἰσχύϊ, τὸν Χριστὸν κυήσασα, Θεομακάριστε.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Χαλεπαῖς ἀῤῥωστίαις, καὶ νοσεροῖς πάθεσιν, ἐξεταζομένῳ Παρθένε, σύ μοι βοήθησον· τῶν ἰαμάτων γάρ, ἀνελλιπῆ σε γινώσκω, θησαυρὸν Πανάμωμε, τὸν ἀδαπάνητον.

Τῆς Ἁγίας.

Ἦχος δ΄. Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε.

Στίχ. Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὤ! πῶς ἐν τῷ μέσῳ τοῦ σταδίου, ἀθλοῦσα ἡ Μάρτυς τοῦ Χριστοῦ, τὸν τύραννον ἐξέστησε, δι᾽ ἄκραν καρτερότητα· ἀνδρείως γὰρ ὑπήνεγκε, τὰ τῶν δεινῶν κολαστήρια.

Στίχ. Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Πανεύφημε μάρτυς Εὐφημία, εὐφήμοις ἐν ᾄσμασιν ἀεί, σὴν μνήμην σου γεραίρομεν, τὴν σὴν πλουτοῦντες λάρνακα, τὸ λείψανόν σου φέρουσαν, τὸ ἱερὸν καὶ σεβάσμιον.

Δόξα.

Ἀνδρείως κατέβαλες τὸν ὄφιν, τὸν μέγαν Σεμνὴ τὸν νοητόν, δυναμωθεῖσα χάριτι, Πατρὸς Υἱοῦ καὶ Πνεύματος, τῆς ἀσυγχύτου φύσεως, καὶ τρισηλίου Θεότητος.

Καὶ νῦν. Θεοτοκίον.

Ὑμνήσωμεν πάντες κατὰ χρέος, Μαρίαν τὴν Δέσποιναν ἁγνήν, τὴν μόνην ἀειπάρθενον· αὕτη γὰρ τὸ κεφάλαιον, τῆς σωτηρίας γέγονεν, ἡμῶν δι᾽ ἄκραν καθαρότητα.

Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·

Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν...

* * *

ΜΕΣΩΔΙΑ ΚΑΘΙΣΜΑΤΑ

Κάθισμα τῆς Ἁγίας.

Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τὸν νυμφίον σου Χριστὸν ἀγαπήσασα, τὴν λαμπάδα σου φαιδρῶς εὐτρεπίσασα, ταῖς ἀρεταῖς διέλαμψας Πανεύφημε· ὅθεν εἰσελήλυθας, σὺν αὐτῷ εἰς τοὺς γάμους, στέφος τῆς ἀθλήσεως, παρ᾽ αὐτοῦ δεξαμένη. Ἀλλ᾽ ἐκ κινδύνων λύτρωσαι ἡμᾶς, τοὺς ἐκτελοῦντας ἐν πίστει τὴν μνήμην σου.

Δόξα. Καὶ νῦν. Θεοτοκίον

Τῇ Θεοτόκῳ ἐκτενῶς νῦν προσδράμωμεν, ἁμαρτωλοὶ καὶ ταπεινοὶ καὶ προσπέσωμεν, ἐν μετανοίᾳ κράζοντες ἐκ βάθους ψυχῆς· Δέσποινα βοήθησον, ἐφ᾽ ἡμῖν σπλαγχνισθεῖσα, σπεῦσον ἀπολλύμεθα, ὑπὸ πλήθους πταισμάτων, μὴ ἀποστρέψῃς σοὺς δούλους κενούς· σὲ γὰρ καὶ μόνην ἐλπίδα κεκτήμεθα.

Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·

Σὺ γὰρ εἶ ὁ Βασιλεύς...

* * *

ΚΟΝΤΑΚΙΟΝ, ΟΙΚΟΣ, ΣΥΝΑΞΑΡΙΟΝ

Κοντάκιον. Ἦχος β΄.

Ἀγῶνας ἐν ἀθλήσει, ἀγῶνας ἐν τῇ πίστει κατεβάλου θερμῶς ὑπὲρ Χριστοῦ τοῦ νυμφίου σου, ἀλλὰ καὶ νῦν, ὡς τὰς αἱρέσεις, καὶ τῶν

ἐχθρῶν τὸ φρύαγμα, ἐν τοῖς ποσὶ τῶν βασιλέων ἡμῶν ὑποταγῆναι πρέσβευε διὰ τῆς Θεοτόκου, * ἡ ὑπὸ ἑξακοσίων τριάκοντα θεοφόρων Πατέρων Ὅρον λαβοῦσα, καὶ φυλάττουσα πανεύφημε.

Ὁ Οἶκος

Τὶ τῶν σῶν ἀθλημάτων, ἢ τὶ τῶν σῶν κατορθωμάτων, ἢ τὶ τῆς σῆς παρθενίας, ἢ τοῦ βίου τοῦ ἀμέμπτου σου θαυμάσειέ τις πρότερον; σὺ γὰρ εὔφρανας τὸν Πατέρα, ὡς τῷ Υἱῷ νυμφευθεῖσα, τῷ Πνεύματι τῷ Ἁγίῳ σαυτὴν κατακοσμήσασα. Τὶς ἱκανοῖ πρὸς ταῦτα, τὶς λέγειν νῦν ἰσχύσειεν, ὅσαι σε περιλάμπουσιν ἀρεταὶ μὴ ὑποδύουσαι; ὡς ἐξ ἀνατολῆς γὰρ ἐκ τάφου ἀνατέλλουσα, παντὶ φαίνεις, καὶ ἀκτινοβολεῖς ἐν γῇ καὶ θαλάσσῃ, καὶ ἐπὶ πᾶσαν ἤπειρον ἁγιάζεις καὶ μυρίζεις τὰ πέρατα· διὸ Τόμον πεπίστευσαι, * ὑπὸ ἑξακοσίων τριάκοντα θεοφόρων Πατέρων Ὅρον λαβοῦσα, καὶ φυλάττουσα Πανεύφημε.

Σ Υ Ν Α Ξ Α Ρ Ι Ο Ν

Τῇ ΙΑ΄ τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ θαύματος (451) τῆς ἁγίας μεγαλομάρτυρος καὶ πανευφήμου Εὐφημίας. (†304)

Στίχ. Δίκαζε Μάρτυς τοῖς ὅροις, καὶ κειμένη,
Κυροῦσα πίστιν, ἧς ἐνήθλησας πόθῳ.
Θέσκελον ἑνδεκάτῃ Ὅρον ἐμπεδοῖ Εὐφημίη.

Ἡ Ἁγία αὕτη καὶ πανένδοξος Μεγαλομάρτυς Εὐφημία διέλαμψε κατὰ τοὺς καιροὺς Διοκλητιανοῦ καὶ Πρίσκου, ἀνθυπάτου τῆς Εὐρώπης, γέννημα καὶ παίδευμα τῆς πόλεως Χαλκηδόνος, ἐξ εὐγενῶν καὶ θεοσεβῶν γονέων καταγομένη· ἥτις διαβληθεῖσα τῷ ἡγεμόνι ὡς χριστιανή, πυρὶ προσωμίλησε καὶ θηρίοις ἐκδέδοται καὶ ἑτέραις μηχαναῖς κολαστηρίων, ἅπερ γενναίως ὑπομείνασα, ἐκομίσατο τὸν τοῦ μαρτυρίου στέφανον. Τὸ δὲ ἱερὸν αὐτῆς λείψανον παρὰ τῶν εὐσεβῶν ἐν τῇ πόλει ταύτῃ Χαλκηδόνι διεσῴζετο, ὅπου καὶ ναὸς περικαλλὴς ᾠκοδόμητο, εἰς τιμὴν τῆς Ἁγίας.

Ἐν τοῖς χρόνοις δὲ τῶν εὐσεβεστάτων βασιλέων Μαρκιανοῦ καὶ Πουλχερίας συνεκροτήθη ἡ οἰκουμενικὴ ἱερὰ Σύνοδος τῶν ἑξακοσίων τριάκοντα ἁγίων Πατέρων ἐν τῇ πόλει ταύτῃ τῆς Χαλκηδόνος, οἵτινες τοὺς περὶ Εὐτυχέα καὶ Διόσκορον ἀναθεματίσαντες καὶ τοὺς μίαν φύσιν καὶ μίαν ἐνέργειαν ἐπὶ Χριστοῦ βλασφημοῦντας καθελόντες, ἐπεὶ οὐκ ἐπείθοντο, ἑτέρως τούτους μετέρχονται· δηλαδή, ἐνέγραψαν τὴν ἐκτεθεῖσαν ὀρθόδοξον πίστιν τόμῳ καὶ τοὺς αἱρετικοὺς προέτρεψαν ἐν ἑτέρῳ γράψαι τὸ ἑαυτῶν φρόνημα, καὶ διανοίξαντες τὴν λάρνακα τῆς πανευφήμου Μεγαλομάρτυρος Εὐφημίας, ἔθεντο ἐπὶ τοῦ ταύτης στήθους ἀμφοτέρους τοὺς τόμους ἐσφραγισμένους· καὶ μετὰ ταῦτα, παραγενόμενοι καὶ ἀνοίξαντες, τὸν μὲν τόμον τῶν αἱρετικῶν εὗρον ἐῤῥιμένον ὑπὸ τοὺς πόδας τῆς Ἁγίας, τὸν δὲ τῶν ὀρθοδόξων τόμον κατεχόμενον ὑπὸ τῆς Μεγαλομάρτυρος ταῖς τιμίαις αὐτῆς χερσίν. Ὅπερ ἰδόντες, οἱ αἱρετικοὶ μὲν αἰσχύνης, οἱ δὲ ὀρθόδοξοι χαρᾶς ἐνεπλήσθησαν.

Τοῦτο γοῦν τὸ χάριτας βρύον ἱερὸν τῆς Ἁγίας λείψανον ἀκέραιον ἐκ Χαλκηδόνος μετεκομίσθη ἐν Κωνσταντινουπόλει πρὸ τῆς ἁλώσεως αὐτῆς, ὅπου καὶ ὁ τότε ἀοίδιμος ἐν Πατριάρχαις Καστῖνος ἐν αὐτῷ τῷ Βυζαντίῳ εὐκτήριον ἤγειρε ναὸν εἰς τιμὴν τῆς Ἁγίας, ἄρτι κοσμηθείσης μαρτυρίου

στεφάνῳ. Γενομένης δὲ τῆς ἁλώσεως, μετατεθέντων πάντων τῶν ἱερῶν λειψάνων ἐν τῷ πανσέπτῳ ναῷ τῶν Ἁγίων Ἀποστόλων, ἐν ᾧ ὑπῆρχε τότε τὸ Πατριαρχεῖον, μετετέθη καὶ τὸ τῆς Ἁγίας ἐκεῖ. Κἀκεῖθεν, μετατεθέντος τοῦ Πατριαρχείου ἐν τῷ ἱερῷ ναῷ τῆς Παναχράντου, μετεκομίσθη σὺν τοῖς λοιποῖς καὶ τὸ τῆς Ἁγίας ἱερὸν λείψανον ἐκεῖ. Μετατεθέντος δὲ ἐκεῖθεν τοῦ Πατριαρχείου ἐν τῷ πανσέπτῳ ναῷ τοῦ Ἁγίου Μεγαλομάρτυρος Γεωργίου τοῦ Τροπαιοφόρου, μετηνέχθη καὶ τὸ ἱερὸν τῆς Ἁγίας λείψανον ἐν αὐτῷ, ὅπερ, θείᾳ εὐδοκίᾳ, διασῴζεται μέχρι τῆς σήμερον, τιμώμενον καὶ σεβόμενον οὐ μόνον παρὰ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, ἀλλὰ καὶ παρὰ τῶν ἑτεροδόξων, βρύον ἰάματα τοῖς μετ᾽ εὐλαβείας προσερχομένοις.
Καθιερώθη δὲ ἐν τῷ ῥηθέντι πανσέπτῳ ναῷ τοῦ Ἁγίου Μεγαλομάρτυρος Γεωργίου, ἐν τοῖς δεξιοῖς μέρεσι, καὶ παρεκκλήσιον ἐπ᾽ ὀνόματι τῆς Ἁγίας Μεγαλομάρτυρος Εὐφημίας, ἔνθα κατατεθειμένον ἐστὶ καὶ τὸ ἱερὸν αὐτῆς λείψανον, καθ᾽ ὃν καιρόν, ἐπὶ τῆς πρώτης πατριαρχείας τοῦ Παναγιωτάτου Πατριάρχου Κωνσταντινουπόλεως Κυρίου Γρηγορίου, ἐκ βάθρων ἀνῳκοδομήθησαν τὰ Πατριαρχεῖα καὶ αἱ λοιπαὶ ἐν τῇ Πατριαρχικῇ αὐλῇ οἰκοδομαί. Τελεῖται δὲ ἡ μνήμη καὶ πανήγυρις τῆς Ἁγίας κατὰ τὴν ια΄ τοῦ Ἰουλίου, καθ᾽ ἣν συναθροίζονται τὰ πλήθη τῶν ὀρθοδόξων, ἀνδρῶν τε καὶ γυναικῶν, τῆς τε Κωνσταντινουπόλεως καὶ τῶν περιχώρων αὐτῆς, καὶ πολλοὶ ἐκ τῶν ἑτεροδόξων· καὶ οἱ μετ᾽ εὐλαβείας προσερχόμενοι καὶ ἀσπαζόμενοι τὸ ἱερὸν αὐτῆς λείψανον, ἀξιοῦνται πολλῶν ἰαμάτων.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου ἱερομάρτυρος Κινδέου τοῦ πρεσβυτέρου ἐν Παμφυλίᾳ. (†290)

Στίχ. Οὐκ ἄξιόν τι καύσεως ὅλως ἔχων,
Σωθεὶς πυρὸς τέθνηκας οὕτω, Κινδέε.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου μάρτυρος Μαρκιανοῦ, μαχαίρᾳ τελειωθέντος.

Στίχ. Ὑπῆρξε θήκη, Μαρκιανέ, σὸς φάρυγξ
Χωροῦσα τὴν μάχαιραν, ᾗ κατεκρίθης.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου μάρτυρος Μαρτυροκλέους, βέλεσι τελειωθέντος.

Στίχ. Ὁ Μαρτυροκλῆς Μαρτύρων εὗρε κλέος,
Μάρτυς φανεὶς ἄριστος ἐκ τοξευμάτων.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῶν ἁγίων μαρτύρων Ἰανουαρίου καὶ Πελαγίας, τῶν ἐν Νικοπόλει τῆς Ἀρμενίας.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου Λέοντος τοῦ ἐν τῇ Μάνδρᾳ, ἐν εἰρήνῃ τελειωθέντος.

Στίχ. Ἐκ γῆς ἀπελθὼν ἐντρυφᾷ τερπνοῖς Λέων,
Ὧν εἶχεν ἐν γῇ τὰς ἀπορρήτους πάλαι.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς ἁγίας ἰσαποστόλου βασιλίσσης Ὄλγας τῆς ῥωσίδος.

Στίχ. Ἄνθραξ νοητὸς ἡ Ὄλγα ἐν Ῥωσίᾳ
Ὤφθη, τῆς ὕστερον φλογὸς ζωηφόρου.

Ὄλγα, ἡ Ἁγία αὕτη βασίλισσα τῆς Ῥωσίας, ἡ διὰ τοῦ Ἁγίου Βαπτίσματος μετονομασθεῖσα Ἑλένη, κατὰ τὸ ἔτος 957 ἀπὸ Χριστοῦ, ὑπῆρξεν, ὡς λέγει ὁ Νέστωρ ἡ Ἠὼς καὶ τὸ Ἄστρον τῆς σωτηρίας τῆς Ῥωσίας διὰ τὸν ἀκάματον ζῆλον αὐτῆς πρὸς ἐξάπλωσιν τοῦ Χριστιανισμοῦ, ὡς καὶ διὰ τὴν ὑψηλὴν ἐν

γένει θρησκευτικὴν καὶ πολιτιστικὴν σταδιοδρομίαν αὐτῆς, ὁμοιάζουσαν πρὸς τὸν βίον τοῦ Μεγάλου Κωνσταντίνου.
Δύσκολον εἶναι νὰ περιγράψῃ τις λεπτομερῶς τὰς ἀόκνους προσπαθείας καὶ τὴν ἐνδελεχῆ διδασκαλίαν αὐτῆς πρὸς διαφωτισμὸν τοῦ Ῥωσικοῦ λαοῦ, καὶ τοῦ ἀπίστου υἱοῦ της Σβιατοσλαύου. Οὐχὶ δὲ μόνον μὲ τὴν διδασκαλίαν, ἀλλὰ πολὺ περισσότερον μὲ τὰ καλὰ ἔργα ὡς παράδειγμα, καὶ μὲ τὰς θερμὰς ὁλονυκτίους δεήσεις, καὶ τὰ διάπυρα δάκρυα, παρεκάλει τὸν Θεόν, ὅπως φωτίσῃ καὶ καθοδηγήσῃ καὶ τὸν ἐθνικὸν υἱὸν αὐτῆς, καὶ τὸν Ῥωσικὸν λαὸν εἰς ἐπίγνωσιν τοῦ ἀληθινοῦ Θεοῦ, Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.
Ἀπήρχετο δὲ καὶ εἰς πολλὰς πόλεις τῆς Ῥωσίας, καὶ συνέτριβε πανταχοῦ τὰ εἴδωλα, καὶ τὸν λαὸν προσῆγεν εἰς τὴν τοῦ Χριστοῦ λατρείαν, στήνουσα Σταυρούς, ἐξ ὧν πολλὰ σημεῖα καὶ θαύματα ἐγένοντο πρὸς βεβαίωσιν τῶν πιστῶν.
Ἡ Ἁγία αὕτη, ἐλθοῦσα ποτὲ εἰς τὸ Βυζάντιον μετὰ τῆς ἀκολουθίας αὐτῆς, ἔτυχεν ἐκεῖ θερμῆς ὑποδοχῆς διὰ τοὺς ὑπὲρ τοῦ χριστιανισμοῦ ἀγῶνας αὐτῆς. Ἐπιστρέψασα εἶτα εἰς Ῥωσίαν, καὶ εἰς πλείστους ἔτι ἀγῶνας ἐπιδοθεῖσα, καὶ ψυχὰς ἀναριθμήτους τῷ Θεῷ παραδώσασα, παρέδωκεν τέλος καὶ τὴν ἁγίαν αὐτῆς ψυχὴν εἰς χεῖρας Θεοῦ, τὴν ἐνδεκάτην τοῦ μηνὸς Ἰουλίου.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου ἱερομάρτυρος Ἀρσενίου, πατριάρχου Ἀλεξανδρείας. (†1010)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου Πίου α΄, πάπα Ῥώμης. (~†155)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου μάρτυρος Σιδρονίου (Sidronius), ἐν Ῥώμῃ ἐπὶ Αὐρηλιανοῦ ἀθλήσαντος. (~†270)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῶν ἁγίων αὐταδέλφων μαρτύρων Σαβίνου καὶ Κυπριανοῦ, τιμωμένων ἐν Βρεσκίᾳ (Brescia) τῆς Ἰταλίας.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου καὶ ὁμολογητοῦ Σαβίνου, τιμωμένου ἐν Πικταβίῳ (Poitiers) τῆς Γαλλίας. (ε΄ αἰ.)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου Λεοντίου β΄, ἐπισκόπου Βουρδιγάλων (Bordeaux) τῆς Γαλλίας. (~†565)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου Δροστάνου (Drostan), κτίτορος καὶ ἡγουμένου τοῦ ἀββαείου Παλαιᾶς Δρυός (Old Deer) ἐν τῇ κομητείᾳ Ἄβερδην (Aberdeenshire) τῆς Σκωτίας. (~†610)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς ὁσίας Ἀμαβίλιδος (Amabilis, Mable), θυγατρὸς Ἄγγλου εὐγενοῦς, μοναχῆς γενομένης ἐν τῷ ἀββαείῳ Ἁγίου Ἀμάνδου (Saint-Amand) εἰς Ῥουὲν (Rouen) τῆς Γαλλίας. (~†634)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῶν ὁσίων Σιγιβέρτου (Sigisbert) καὶ Πλακίδα (Placid), κτιτόρων τῆς μονῆς Ἐρημίας (Monasterium Dissetinensis, Disentis Abbey) ἐν τῇ ἀνατολικῇ Ἑλβετίᾳ. (~†750)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου Ἰωάννου, ἐπισκόπου Βεργάμου (Bergamo) ἐν Λομβαρδίᾳ. (~†690)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου Χιδούλφου (Hidulphus), κτίτορος τῆς Μέσης Μονῆς (Moyenmoutier), ἐπιφανοῦς ἐπισκόπου Τρεβήρων (Trier) ἐν Γερμανίᾳ. (†707)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου ἱερομάρτυρος Ἀβουνδίου (Abundius), ἐν Κορδούῃ (Córdoba) τῆς Ἱσπανίας. (†854)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου Θουρκετύλου (Thurketyl), ἡγουμένου τῶν ἀββαείων Κροβλάνδης (Crowland) καὶ Βέδφορδ (Bedford) ἐν Ἀγγλίᾳ. (†975)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Νικοδήμου, ἐν τοῖς ὁρίοις τῆς τοῦ Βατοπεδίου ἱερᾶς μονῆς ἀσκήσαντος καὶ διδασκάλου τοῦ θείου Γρηγορίου τοῦ Παλαμᾶ χρηματίσαντος, διὰ τῆς κατὰ Χριστὸν φιλοσοφίας. (†1320)

Στίχ. Πῶς ἀγέραστον καταλίπω τοῖς λόγοις
Τὸν Νικόδημον, ᾧ γέρας νῆψις νόου;

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου νέου ὁσιομάρτυρος Νικοδήμου, ἐν Ἐλβασανίῳ τῆς Ἀλβανίας μαρτυρήσαντος, καὶ ξίφει τελειωθέντος. (†1722)

Στίχ. Ὁ Νικόδημος ῥάβδον ἐν χερσὶ φέρων,
Πλάνην πατάσσει Ἀγαρηνῶν ἀνόμων.

Οὗτος, ἐν τοῖς ὁρίοις τῶν Καυσοκαλυβίων τοῦ Ἁγίου Ὄρους ἀσκήσας, καὶ λαβὼν ῥάβδον παρὰ τοῦ Ὁσίου Ἀκακίου, καὶ δι' αὐτῆς ἐνισχυθείς, ἐτελείωσεν ἐνδόξως καὶ ἀνδρικῶς τὸ μαρτύριον εἰς τὴν ἰδίαν πατρίδα.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου νέου ὁσιομάρτυρος Νεκταρίου, τοῦ ἐκ Βρυούλων, Ἁγιαννανίτου, τὴν κάραν τμηθέντος. (†1820)

Στίχ. Τὸν Σταυρὸν αἴρων Νεκτάριος Κυρίου,
Πλάνην πατάσσει τῶν ἀπίστων γενναίως.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Κυρίλλου τοῦ ἐν Πάρῳ. (†1833)

Στίχ. Κύριλλος νέον τῆς Ἐκκλησίας κῦρος,
Πέφηνε ὄντως ὡς Ἀπόστολος ἄλλος.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

* * *

Καταβασίαι σύντομαι τῆς Θεοτόκου. Ἦχος  Βου ξ

Ψάλλονται ἀπὸ τῆς 22ας Σεπτεμβρίου μέχρι τῆς 7ης Νοεμβρίου, ἀπὸ τῆς 10ης Φεβρουαρίου μέχρι τῆς ἐνάρξεως τοῦ Τριῳδίου, τῇ Β΄, Δ΄ καὶ Ε΄ Κυριακῇ τῶν νηστειῶν καὶ ἀπὸ τῆς Κυριακῆς τῶν ἁγίων Πάντων μέχρι τῆς 26ης Ἰουλίου.

ᾠδὴ α΄





ᾠδὴ γ΄



ᾠδὴ δ΄



ᾠδὴ ε΄





ᾠδὴ ϛ΄



ᾠδὴ ζ΄



ᾠδὴ η΄

Αἰνοῦμεν, εὐλογοῦμεν, προσκυνοῦμεν τὸν Κύριον, ὑμνοῦντες καὶ ὑπερυψοῦντες αὐτὸν εἰς τοὺς αἰῶνας.





* * *

Ὁ διάκονος· Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτός, ἐν ὕμνοις τιμῶντες μεγαλύνομεν.

Η ΩΔΗ ΤΗΣ ΘΕΟΤΟΚΟΥ








κα ρι ϑ σι με πα σαι αι γε νε αι
Βϑ
Τ ην τι μι ω τε ραν των Χε ρου βιμ και εν δο
ξο τε ραν α συγ κρι τως των Σε ρα φειμ την α δι
α φθο ο ρως Θε ον Λο γον τε κου σαν την ον τως Θε
ο το κον σε ε με γα λυ νο μεν
3
Βϑ
Ο τι ε ποι η σε μοι με γα λει α ο
δυ να τος και α γι ον το ο νο μα αυ τϑ και
το ε λε ος αυ τϑ εις γε νε αν και γε νε
αν τοις φο βϑ με νοις αυ τον
Βϑ
Τ ην τι μι ω τε ραν των Χε ρου βιμ και εν δο
ξο τε ραν α συγ κρι τως των Σε ρα φειμ την α δι
α φθο ο ρως Θε ον Λο γον τε κου σαν την ον τως Θε
ο το κον σε ε με γα λυ νο μεν
4
Βϑ
Ε ποι η σε κρα τος εν βρα χι ο νι αυ τϑ
δι ε σκορ πι σεν υ πε ρη φα νϑς δι α νοι


α καρ δι ας αυ των
Την τι μι ω τε ραν των Χε ρου βιμ και εν δο
ξο τε ραν α συγ κρι τως των Σε ρα φειμ την α δι
α φθο ορως Θε ον Λο γον τε κου σαν την ον τως Θε
ο το κον σε ε με γα λυ νομεν
5 Κα θει λε δυ να στας α πο θρονων και υ υ
ψω σε τα πει νϑ ϑς πει νων τας ε νε πλη σεν α γα
θω ων και πλϑ τϑ ϑν τας ε ξα πε στει λε κε
νϑ ϑς
Την τι μι ω τε ραν των Χε ρου βιμ και εν δο
ξο τε ραν α συγ κρι τως των Σε ρα φειμ την α δι α
φθο ρως Θε ον Λο γον τε κου ου ου σαν την ον τως
Θε ο το κον σε ε με γα λυ νομεν
6 Αν τε λα βε το Ισ ρα ηλ παι δος αυ τϑ
μνη σθη ναι ε λε ϑς κα θως ε λα λη σε προς





ᾠδὴ θ΄



Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·

Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις...

* * *

ΤΑ ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΑ

Ἐπεσκέψατο ἡμᾶς. Ἦχος Γα ϱ





Θεοτοκίον.



Εἰς τοὺς Αἴνους.

Ἦχος πλ. Πα





Α ι νει ει ει ει ει τε α αυ τον πα α αν τε ες
οι Α α αγ γε λοι οι α α αυ του αι νει ει
ει ει ει τε ε α αυ τον πα σαι αι δυ να α α
μει εις α α αυ του σοι πρε πει υ υ μνος τω ω
Θε ε ω

Ἦχος πλ. δ΄ Πα ϙ

Α ι νει τε αυ τον η λι ος και σε λη νη αι
νει τε αυ τον παν τα τα α στρα και το φω ω ως
Α ι νει τε αυ τον οι ου ρα νοι των ου ρα νων και
το υ δωρ το υ περ α νω των ου ρα νων αι νε
σα τω σαν το ο νο μα Κυ ρι ι ου
Ο τι αυ τος ει ει πε και ε γε νη θη σαν αυ
τος ε νε τει λα το και ε κτι σθη σαν


Ε στη σεν αυ τα εις τον αι ω ω να και
εις τον αι ω να τϑ αι ω ω νος πτο στα γμα ε θε
το και ου πα ρε λευ σε ται
Α ι νει τε τον Κυ ρι ον εκ της γη ης δρα κον τες και
πα σαι α βυσ σοι
Π υρ χα λα ζα χι ων κρυ ςαλ λος πνευ μα κα ται
γι ι ι δος τα ποι ουν τα τον λο γον αυ του
Τ α ο ρη και παν τες οι βϑ νοι ξυ λα καρ πο φο
ρα και πα σαι κε εδ ροι
Τ α θη ρι α και παν τα τα κτη η νη ερ πε τα
και πε τει να α πτε ρω τα
Β α σι λεις της γης και παν τες λα οι αρ χον τες και
παν τες κρι ται γης
Ν ε α νι σκοι και παρ θε νοι πρε σβυ τε ροι με
τα νε ω τε ε ρων αι νε σα τω σαν το ο νο
μα Κυ ρι ι ϑ ο τι υ ψω θη το ο νο μα αυ τϑ


μο ο νϑ
Η ε ξο μο λο γη σις αυ του ε πι γης και
ου ρα νου και υ ψω σει κε ρας λα ου αυ τϑ ϑ
ϑ
Υ μνος πα σι τοις ο σι οις αυ τϑ τοις υι
οις Ισ ρα ηλ λα ω εγ γι ζον τι αυ τω ω ω
Α σα τε τω Κυ ρι ω α σμα και νον η αι
νε σις αυ τϑ εν εκ κλη σι ι α ο σι ι ων
Ε υ φραν θη τω Ισ ρα ηλ ε πι τω ποι η σαν τι
αυ τον και οι υι οι Σι ων α γαλ λι α σθω σαν
ε πι τω βα σι λει αυ των
Α ι νε σα τω σαν το ο να μα αυ τϑ ϑ εν χο
ρω εν τυμ πα νω και ψαλ τη ρι ι ω ψαλ λα τω
σαν αυ τω ω ω
Ο τι ευ δο κει Κυ ρι ος εν τω λα ω αυ τϑ
και υ ψω ω σει πρα εις εν σω τη ρι ι α



Στιχηρὰ τῆς Μεγαλομάρτυρος

Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν ἀληθῶς.

Στιχ. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Χαίροις παρθενομάρτυς Χριστοῦ, ἡ ἐξ Ἑῴας ὡς ἀστὴρ ἀνατείλασα, καὶ πᾶσαν τὴν οἰκουμένην φωταγωγοῦσα φαιδρῶς, ψυχῆς διαυγείᾳ καὶ φαιδρότητι, δι᾽ ἧς θεῖον θέσπισμα, τῶν Πατέρων κεκύρωται, καὶ κατηργήθη, Εὐτυχοῦς γλῶσσα βλάσφημος Διοσκόρου τε, τοῦ δεινοῦ καὶ παράφρονος· Χαίροις ἡ ἀποστάζουσα, κρουνοὺς τῶν αἱμάτων σου, καθαρτικοὺς μολυσμάτων, ἐκ τῶν ἁγίων λειψάνων σου, Χριστοῦ τῇ δυνάμει, τοῦ παρέχοντος τῷ κόσμῳ, τὸ μέγα ἔλεος.

Στιχ. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ, σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Χαίροις παρθενομάρτυς Χριστοῦ...

Στιχ. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ,

Δεῦτε τῆς Ἀθλοφόρου Χριστοῦ, μέτ᾽ ἐγκωμίων τελουμένην πανήγυριν, ὁρῶντες συνευφρανθῶμεν, πνευματικῶς ἐν χαρᾷ, καὶ πανευφροσύνως ἑορτάσωμεν· αὐτῇ γὰρ κατέβαλε, τὸ ἀγέρωχον φρόνημα, τῶν τυραννούντων, τῇ δυνάμει τοῦ Πνεύματος· ὅθεν ἤρατο, κατ᾽ αὐτῶν μέγα τρόπαιον. Ταύτην γοῦν εὐφημήσωμεν, εὐφήμοις ἐν ᾄσμασι, τήν καλλιπάρθενον κόρην, τῆς εὐφημίας φερώνυμον, Χριστὸν δυσωποῦντες, τοῦ δωρήσασθαι τῷ κόσμῳ, τὸ μέγα ἔλεος.

Στιχ. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Ὅρους παραλαβοῦσα σεμνή, ἔνδον τοῦ τάφου, εὐσεβῶν κακοδόξων τε, κατεῖχες ἐν ταῖς χερσί σου, ὃν οἱ Πατέρες καλῶς, ἄνωθεν πνευσθέντες συνεξέθεντο, τὸν δὲ κατεπάτησας, ὡς ψευδῆ καὶ ἀντίθεον, τῶν κακοδόξων, οὓς εἰς τέλος κατῄσχυνας· ὅθεν ἅπαντες, εὐσεβῶς εὐφημοῦμέν σε, χαίροντες ἐν τῇ μνήμῃ σου, οὓς μάρτυς ὁ πρόεδρος, ὁ ἱερὸς Βυζαντίων, ἐπισυνήγαγε σήμερον· διὸ τὸν Σωτῆρα, ἐκδυσώπησον δοθῆναι, τὸ μέγα ἔλεος.

Ἦχος πλ. Δ





Καὶ νῦν. Θεοτοκίον.



Δοξολογία Μανουὴλ Πρωτοψάλτου.










Π ρο σδε ξαι την δε η σιν η μων ο κα θη με νος εκ
δε ξι ω ων του Πα τρος και ε λε η σον η μας
Ο τι συ ει μο νος Α γι ος Συ ει ει μο νος
Κυ ρι ος Ι η σους Χρι στος εις δο ξαν Θε ου Πα τρος
α μη ην
Κ αθ ε κα α στην η με ραν ευ λο γη σω σε και
αι νε ε σω το ο νο μα α σου εις τον αι ω ω να και
εις τον αι ω να του αι ω νος
Κ α τα ξι ω σον Κυ ρι ε εν τη η με ρα τα
αυ τη α να μαρ τη τους φυ λα χθη ναι η μα ας
Ε υ λο γη τος ει Κυ ρι ε ο Θε ος των πα
τε ε ρων η μων και αι νε τον και δε δο ξα σμε ε νον
το ο νο μα α σου εις τους αι ω νας α μη ην
Γ ε ε ε νοι το Κυ ρι ε το ε λε ος σου εφ η
μας κα θα περ ηλ πι σα α μεν ε πι σε ε
Ε υ λο γη το ος ει ει Κυ ρι ι ι ε δι δα ξον με


(τρίς)
τα δι και ω μα τα σου
Κ ρι ε κα τα φυ γη ε γεν νη η θης η μιν εν γε
νε α και γε νε α ε γω ει πα Κυ ρι ι ε ε λε
η σο ον με ι α σαι την ψυ χη ην μου ο τι η μαρ τον
σοι
Κ υ ρι ε προς σε κα τε ε φυ γον δι δα ξο ο ον με
του ποι ειν το θε λη μα α σου ο τι συ ει ο Θε
ο ος μου
Ο τι πα ρα σοι πη γη ζω ης εν τω φω τι
σου ο ψο με θα φω ως
Π α ρα τει ει ει νον το ε λε ο ος σου τοις γι νω
σκου σι σε
Α α γι ος ο Θε ος Α α γι ος Ι σχυ ρος Α γι
ος α θα να τος ε λε η σον η μα ας (τρίς)
Δ ο ξα Πα τρι ι και Υι ω και α γι ω Πνευ μα
τι

Ἀσματικὸν. χ



Ἀπολυτίκιον. Τῆς Ἁγίας.

Θείας πίστεως. Ἦχος Γα





* * * * *

ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Ὁ διάκονος τὰ εἰρηνικὰ

Τὰ ἑξαπλᾶ.

Ἦχος πλ. Νη ζω









Τὰ Ἁγιορείτικα (καταγραφὴ Μελετίου Συκιώτου).

Ἦχος πλ. Νη ζω

Ἀθανασίου Καραμάνη.

Ἦχος πλ. δ΄. Νη ϱ







ὁ ἱερεὺς τὴν ἐκφώνησιν·

Ὅτι πρέπει σοι πᾶσα δόξα...

Ἀντίφωνον Α΄. Ἦχος β΄. Ψαλμὸς ρβ΄ (102).

Ἦχος δ΄. Δι-

Στίχ. α΄. Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.



Στίχ. β΄. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ.



Στίχ. γ΄. Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ

βασιλεία αὐτοῦ πάντων δεσπόζει.



Στίχ. δ΄. Εὐλογεῖτε τὸν Κύριον, πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ.



Δόξα. Καὶ νῦν.



Ὁ διάκονος τὴν μικρὰν συναπτὴν
καὶ ὁ ἱερεὺς τὴν ἐκφώνησιν·
Ὅτι σὸν τὸ κράτος...

Ἀντίφωνον Β΄. Ἦχος β΄. Ψαλμὸς ρμε΄ (145).

Στίχ. α΄. Αἴνει, ἡ ψυχή μου, τὸν Κύριον· αἰνέσω Κύριον ἐν τῇ ζωῇ μου· ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.



Στίχ. β΄. Μακάριος, οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ.





Στίχ. γ΄. Τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς.



Στίχ. δ΄. Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου, Σιών, εἰς γενεὰν καὶ γενεάν.



Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.





Ὁ διάκονος τὴν μικρὰν συναπτὴν
καὶ ὁ ἱερεὺς τὴν ἐκφώνησιν·
Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος...
Ἀντίφωνον Γ΄. Ψαλμὸς Ρια΄ (91).

Ἦχος Γα

Στίχ. α΄. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, ὡσεὶ ἡ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.



Στίχ. β΄. Ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι, καὶ

εἰσήκουσε τῆς δεήσεώς μου.



Στίχ. γ΄. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατεύθυνε τὰ διαβήματά μου.



* * *

ΜΙΚΡΑ ΕΙΣΟΔΟΣ

Εἰσοδικόν. Ἦχος β΄.

(Ἐὰν εἰσοδεύουν πολλοὶ ἱερεῖς, ψάλλουν αὐτοὶ τὸ εἰσοδικόν).

Ἦχος Δι



ὁ β΄ χορός:



Ἀπολυτίκιον. Τῆς Ἁγίας.

Θείας πίστεως. Ἦχος Γα



Εἶτα τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου τοῦ Ναοῦ.

Κοντάκιον τῆς Θεοτόκου.

(ψάλλεται ὑπὸ τῶν ἱερέων, ἐὰν τελεῖται συλλείτουργον)

Ἦχος Δι



* * *

ΤΡΙΣΑΓΙΟΣ ὝΜΝΟΣ

Ἦχος Δι



Τό τρίτον.


Α γι ος ο Θε ο ο ο ο ο ο ο
ο ο ο ο ος α γι ος ι σχυ ρο ο ο ο ος
α α γι ι ος α θα α να τος ε λε ε ε η
σο ο ον η μα ας
Δ ο ξα Πα τρι και Υι ω και α γι ω Πνε ευ μα
τι
Κ αι νυν και α ει και εις τους αι ω νας των αι ω
νων α μην
Α α γι ι ος α θα α να τος ε λε ε ε
η σο ο ον η μα ας
Δ υ να α α μις Α γι ος ο Θε ο ο ο
ο ο ο ο ο ο ο ο ο ο ο ος α γι ος
ι σχυ ρο ο ο ο ος α α α α α α α
α α α γι ι ι ος α θα α να α α το ο
ο ος ε λε ε η η σον η η μα ας

Δύναμις τοῦ βήματος.

Ἦχος Δι



Δύναμις Ἰωάννου Παλάση. Ἦχος Δι




A
α α α α α α α ʔα α α α α
α α α α α α α α α α γι ι ι ι ι ι ι
Nη
ι ι ι ι ʔι ι ι ι ι ι ι ι ι A α γι ι ι
M
Δι
ο ο ο ο ο ο ο ος ο ο ο ο Θε
ε ε ε ε ε Uε ε ε ε ε ε ε ε ε ε ε ε
χε ε ε ε ο ο Θε ε ε ο ο ο ο ο ο ο
ο ο ο ο ος
A
Δι
α α α α α α α ʔα α α α α
α α α α α α α α α α γι ι ι ι ι ι ι
Nη
ι ι ι ι ʔι ι ι ι ι ι ι ι ι A α γι ι ι
M
Δι
ο ο ο ο ο ο ο ος I ι ι ι σχυ
υ υ υ υ υ ʔυ υ υ υ υ υ υ υ υ υ υ υ
χυ υ υ υ I ι σχυ υ υ ϱο ο ο ο ο ο ο
ο ο ο ο ος
A
Δι
α α α α α α α α α α α α α
α α α α γι ι ι ι ος A θα α α α



* * *

ΑΠΟΣΤΟΛΟΣ

Ὁ ἀναγνώστης· Ψαλμὸς τῷ Δαβίδ. Προκείμενον ἦχος πλ δ΄.
Ὁ διάκονος· Πρόσχωμεν.

Ὁ ἀναγνώστης τὸ προκείμενον καὶ τὸν στίχον αὐτοῦ.

Προκείμενον. (Ψαλμὸς ξζ΄).

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ. (ξζ΄ 36)

Στίχ. α΄. Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν, Κύριον ἐκ πηγῶν Ἰσραήλ. (ξζ΄ 27)

Ἢ ὁ ψάλτης.

Ἦχος πλ Νη





Ὁ διάκονος· Σοφία.

Ὁ ἀναγνώστης·

Πρὸς Κορινθίους Β΄ Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Ὁ διάκονος· Πρόσχωμεν.

Ἀδελφοί, συνεργοῦντες παρακαλοῦμεν μὴ εἰς κενὸν τὴν χάριν τοῦ Θεοῦ δέξασθαι ὑμᾶς —λέγει γάρ· «Καιρῷ δεκτῷ ἐπήκουσά σου καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι»· ἰδοὺ νῦν «καιρὸς εὐπρόσδεκτος», ἰδοὺ νῦν «ἡμέρα σωτηρίας»— μηδεμίαν ἐν μηδενὶ διδόντες προσκοπήν, ἵνα μὴ μωμηθῇ ἡ διακονία, ἀλλ᾽ ἐν παντὶ συνιστῶντες ἑαυτοὺς ὡς Θεοῦ διάκονοι, ἐν ὑπομονῇ πολλῇ, ἐν θλίψεσιν, ἐν ἀνάγκαις, ἐν στενοχωρίαις, ἐν πληγαῖς, ἐν φυλακαῖς, ἐν ἀκαταστασίαις, ἐν κόποις, ἐν ἀγρυπνίαις, ἐν νηστείαις, ἐν ἁγνότητι, ἐν γνώσει, ἐν μακροθυμίᾳ, ἐν χρηστότητι, ἐν Πνεύματι Ἁγίῳ, ἐν ἀγάπῃ ἀνυποκρίτῳ, ἐν λόγῳ ἀληθείας, ἐν δυνάμει Θεοῦ, διὰ τῶν ὅπλων τῆς δικαιοσύνης τῶν δεξιῶν καὶ ἀριστερῶν, διὰ δόξης καὶ ἀτιμίας, διὰ δυσφημίας καὶ εὐφημίας, ὡς πλάνοι καὶ ἀληθεῖς, ὡς ἀγνοούμενοι καὶ ἐπιγινωσκόμενοι, ὡς ἀποθνήσκοντες καὶ ἰδοὺ ζῶμεν, ὡς παιδευόμενοι καὶ μὴ θανατούμενοι, ὡς λυπούμενοι ἀεὶ δὲ χαίροντες, ὡς πτωχοὶ πολλοὺς δὲ πλουτίζοντες, ὡς μηδὲν ἔχοντες καὶ πάντα κατέχοντες.

Ἀλληλούϊα (γ΄). Ἦχος α΄. (Ψαλμὸς λθ΄).

Ἦχος δ Κε





Στίχ. α΄. Ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι, καὶ εἰσήκουσε τῆς δεήσεώς μου.



Στίχ. β΄ Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατεύθυνε τὰ διαβήματά μου.



ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Λουκᾶν.

ζ΄ 36 - 50

Τῷ καιρῷ ἐκείνῳ, ἠρώτα τις τῶν Φαρισαίων τὸν Ἰησοῦν ἵνα φάγῃ μετ᾽ αὐτοῦ· καὶ εἰσελθὼν εἰς τὴν οἰκίαν τοῦ Φαρισαίου ἀνεκλίθη. καὶ ἰδοὺ γυνὴ ἐν τῇ πόλει ἥτις ἦν ἁμαρτωλός, καὶ ἐπιγνοῦσα ὅτι ἀνάκειται ἐν τῇ οἰκίᾳ τοῦ Φαρισαίου, κομίσασα ἀλάβαστρον μύρου καὶ στᾶσα ὀπίσω παρὰ τοὺς πόδας αὐτοῦ κλαίουσα, ἤρξατο βρέχειν τοὺς πόδας αὐτοῦ τοῖς δάκρυσι καὶ ταῖς θριξὶ τῆς κεφαλῆς αὐτῆς ἐξέμασσε, καὶ κατεφίλει τοὺς πόδας αὐτοῦ καὶ ἤλειφε τῷ μύρῳ. ἰδὼν δὲ ὁ Φαρισαῖος ὁ καλέσας αὐτὸν εἶπεν ἐν ἑαυτῷ λέγων· Οὗτος εἰ ἦν προφήτης, ἐγίνωσκεν ἂν τίς καὶ ποταπὴ ἡ γυνὴ ἥτις ἅπτεται αὐτοῦ, ὅτι ἁμαρτωλός ἐστι. καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπε πρὸς αὐτόν· Σίμων, ἔχω σοί τι εἰπεῖν. ὁ δέ φησί· Διδάσκαλε, εἰπέ. δύο χρεοφειλέται ἦσαν δανειστῇ τινι· ὁ εἷς ὤφειλε δηνάρια πεντακόσια, ὁ δὲ ἕτερος πεντήκοντα. μὴ ἐχόντων δὲ αὐτῶν ἀποδοῦναι, ἀμφοτέροις ἐχαρίσατο. τίς οὖν

αὐτῶν, εἰπέ, πλεῖον ἀγαπήσει αὐτόν; ἀποκριθεὶς δὲ ὁ Σίμων εἶπεν· Ὑπολαμβάνω ὅτι ᾧ τὸ πλεῖον ἐχαρίσατο. ὁ δὲ εἶπεν αὐτῷ· Ὀρθῶς ἔκρινας. καὶ στραφεὶς πρὸς τὴν γυναῖκα τῷ Σίμωνι ἔφη· Βλέπεις ταύτην τὴν γυναῖκα; εἰσῆλθόν σου εἰς τὴν οἰκίαν, ὕδωρ ἐπὶ τοὺς πόδας μου οὐκ ἔδωκας· αὕτη δὲ τοῖς δάκρυσιν ἔβρεξέ μου τοὺς πόδας καὶ ταῖς θριξὶ τῆς κεφαλῆς αὐτῆς ἐξέμαξε. φίλημά μοι οὐκ ἔδωκας· αὕτη δὲ ἀφ᾽ ἧς εἰσῆλθεν οὐ διέλιπε καταφιλοῦσά μου τοὺς πόδας. ἐλαίῳ τὴν κεφαλήν μου οὐκ ἤλειψας· αὕτη δὲ μύρῳ ἤλειψέ μου τοὺς πόδας. οὗ χάριν λέγω σοι, ἀφέωνται αἱ ἁμαρτίαι αὐτῆς αἱ πολλαί, ὅτι ἠγάπησε πολύ· ᾧ δὲ ὀλίγον ἀφίεται, ὀλίγον ἀγαπᾷ. εἶπε δὲ αὐτῇ· Ἀφέωνταί σου αἱ ἁμαρτίαι. καὶ ἤρξαντο οἱ συνανακείμενοι λέγειν ἐν ἑαυτοῖς· Τίς οὗτός ἐστιν ὃς καὶ ἁμαρτίας ἀφίησιν; εἶπε δὲ πρὸς τὴν γυναῖκα· Ἡ πίστις σου σέσωκέ σε· πορεύου εἰς εἰρήνην.

Ἦχος ἀ Δι



Χερουβικόν. Γρηγορίου Πρωτοψάλτου.

Ἦχος ἀ Γα




ο ο ο ο ο ο ο ο ο ο ει κο νι ι ζον
τε ε ε ιε ε ε ε ες και αι αι αι αι αι αι
αι αι χαι αι αι αι αι αι αι αι αι αι αι αι αι αι
τη η η η η η η η η η η και τη ζω ω ω
ο ο ο ο ποι οι ω ω Τρι α α α α α α
α α α α α α α τρι α α α α α α α
α α α α α α α τρι α α α α δι ι ι ι ι
ι τον τρι σα α α α α α α γι ι τον τρι σα
γι ο ο ον υ υ υ υ υ υ υ υ υ υ υ υ
υ υ υ υ υ υ υ μνον προ ο σα α α α α α α
δο ο ο προ σα α δο ο ον τε ε ε ιε ε ε ε ες
πα α α α α σα α α α αν τη η η η ην
βι ι ι ο ο ο ο ο ο τι ι την βι ο τι ι
κη η η η η η ην α πο θω ω ω ω με ε α α
πο θω ω με ε ε θα α α με ε ε ε ε ε
ε ε ε ε ιε ε ε ε ε ρι ι ι ι ι ι ι



Λειτουργικά, Ἰωάννου Ἀρβανίτη, Ἦχος Γα ϱ



















Τὸ Σύμβολον τῆς πίστεως.

Πιστεύω εἰς ἕνα Θεόν, Πατέρα, παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων. Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν, τὸν Υἱὸν τοῦ Θεοῦ τόν μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων· φῶς ἐκ φωτός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον

τῷ Πατρί, δι' οὗ τὰ πάντα ἐγένετο. Τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς Παρθένου καὶ ἐνανθρωπήσαντα. Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου καὶ παθόντα καὶ ταφέντα. Καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς Γραφάς. Καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρός. Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος. Καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ Κύριον, τὸ ζωοποιόν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν. Εἰς μίαν, ἁγίαν, καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν. Ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν. Προσδοκῶ ἀνάστασιν νεκρῶν καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν.

* * *





Ἐτονίσθησαν τῇ κε΄ Ἰουνίου , α ϑ η΄ ἐν Καφενείῳ «Λιστὸν» τῆς Κερκύρας.

I.A.

Ἄξιον ἐςί, παρ᾽ ἐμοῦ Ἰωάννου, Ἦχος Γα ϱ





Ἐτονίσθη κε΄ Ἰουνίου ,αϑηή΄ ἐν τῷ ἀεροδρομίῳ Κερκύρας.
Ι.Α.

Ἄξιόν ἐστιν. Πέτρου Ἁγιοταφίτου.

Ἦχος ἰἰ Γα ϕ





Θεοδώρου Φωκαέως, ἦχος ἰἰ Γα





Εἰς μνημόσυνον, κύρ Πέτρου Μπερεκέτη
(ἐξηγησις Ἰωάννη Ἀρβανίτη, E.B.E 2627, 195)

Ἦχος ἰἰ Γα ϱ




αι ο ο ο ο ο ο ο ος να α α α ιε να
α ιε να να α ιε ε ιε ε ε να α α α α
α α α α α α α α α α α λλη η η η η η
η η η λου ου ου ου ου ου ου ου ου
ι ι ι ι ι ι ι ι ι Α λλη λου ου ου ου
ου ου ι ι ι ι ι ι α α να α α α α α
ιι Λε ε ε ε ε ε ε ε λε ε ε ε γε ιε
ε ε ιι να α α α α να α να α α
α α α α α α α α α λλη η η η η η η η
η η η η η Α α λλη λου ου ου ου ου ι ι
ι ι ι ι ι ι ι ι ι ι ι ι ι ι ι ι Α
α λλη λου ου ου ου ου ου ου ου ου ου ι ι ι ι
ι Α λλη η λου ου ου ου ου ι α α να Πα α να
α α α α α λι νι ι ιν να α α α να
α α α α ιε ε ε ε ε ε ε ε ε ε ε ιε
να α να ιε ε ε ε ιε ε ε ε ε ε να


Α α λλη η λου ου ου ου ου ου ου ου ι
Δι
ι ι ι ι ι ϱι ι ι ι ι χι ι ι ι ι
Γα
Μ
Γα
ι ι ι ι ι ι ι ι ι Α λλη λου ου ι ι ι
Νη
α α α ϱα α α α α α α α α α α α
Γα
α α α α α α α α α α α α
Ἦχος Δι


Ε ι δο μεν το φω ως το α λη θι νον ε λα βο
μεν Πνευ μα ε που ρα νι ον ευ ρο μεν πι ϛιν α λη
θη α δι αι ρε τον Τρι α δα προ σκυ νϑ ϑ ϑ ϑν τες
αυ τη γαρ η μας ε ε σω σε ε εν
Ἦχος Δι


Π λη ρω θη η τω το στο μα η μων αι νε σε
ως σϑ Κυ ρι ε ο πως α νυ μνη σω μεν την δο ο
ξαν σϑ ο τι η ξι ω σας η μας των α
γι ων σϑ με τασ χειν μυ στη ρι ι ι ι ων τη ρη σον
η μας εν τω σω α γι α σμω ω ο λην την η


με ε ραν με λε των τας την δι και ο συ υ νην σθ
Α λλη λθ ϊ α Α λλη λθ ϊ α Α λλη
λθ ϊ α α α

Ἦχος Δι


Ε
ι η το ο νο μα Κυ ρι θ ευ λο γη με
νον α πο τθ νυν και ε ως τθ αι ω ω νος (δὶς)
Το ο νο μα Κυ ρι θ ει η ευ λο γη
με ε ε ε ε νο ο ο ον α πο τθ νυν και ε ως
τθ αι ω ω νο ο ος